## DEMODOCUS

### II [Phocyl. I B. et D.]

*καὶ τόδε Δημοδόκου· Λέριοι κακοί· οὐχ ὁ μέν, ὃς δ' οὔ·*
*πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.*

### III [4 B. et D.]

*Καππαδόκην ποτ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτή*
*κάτθανε γευσαμένη αἵματος ἰοβόλου.*

# PHOCYLIDES

### I [2B., 17D.]

*γνήσιός εἰμι φίλος καὶ τὸν φίλον ὡς φίλον οἶδα,*
*τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.*
*οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,*
*τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.*

# PISANDER

### I [II p. 24B., I i 129D.]

*ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος,*
*καὶ κυνὶ Λήθαργος, καὶ θεράποντι Βάβης·*